δόντες αὐτῷ τὴν συνήθη ἔκδοσιν. Ἀνεβίβασαν δὲ καὶ τοὺς δύο ἐπισκόπους τὸν Κεφαλληνίας καὶ Ζακύνθου, καὶ τὸν Λευκάδος καὶ Ἁγίας Μαύρας εἰς τάξιν μητροπολιτῶν, προσκυρώσαντες ταύτην τὴν τιμὴν τοῖς τε νῦν καὶ τοῖς ἔπειτα γενησομένοις εἰς τὸ διηνεκὲς ἐν αὐτοῖς διὰ πατριαρχικῶν συνοδικῶν σιγγιλίων.

Τοῦ δὲ Ναυπλίου εἰς θεὸν μεταλλάξαντος τῶν τῇδε, καὶ τοῦ Γερασίμου ἀρχιμανδρίτου Νικομηδείας ψηφισθέντος, τῶν προεστώτων τῆς Πελοποννήσου δυσαρεστουμένων παρῃτήσατο τὰς ψήφους ὁ κὺρ Γεράσιμος, ὁ δὲ ἀπὸ Παλαιῶν Πατρῶν ἀνεδέξατο τὴν ἐπαρχίαν Ναυπλίου.

Ἀρχομένου δὲ τοῦ αω'. σωτηρίου ἔτους καί τινος ὑποκινηθείσης διαφορᾶς δοκούσης χρηματικῆς ἐν τοῖς συνεδριάζουσιν ἀρχιερεῦσιν, πολλῆς δὲ οὔσης μεταξὺ τῶν ἀρχόντων περὶ τῶν σπουδαζομένων σφίσιν ἡγεμονειῶν, ὑποδὺς καὶ ἐκκαύσας τὰς ἐρεθιζομένας γνώμας τῶν ἀρχόντων ὁ εἰρηνάρχης, ἐξέωσε τῆς Κωνσταντινουπόλεως τὸν Ἐφέσου, τὸν Νικομηδείας, τὸν Νικαίας, τὸν Προύσης, καί τινας ἄλλους, ὑπονοῶν δύσνοας αὐτῷ, καὶ τοῖς οἷ σπουδαζομένοις ἀντιπράττοντας, οἰόμενος, εἰ τούτους ἐκβάλοι, πᾶσαν ἂν συλήσειεν τὴν πόλιν· ἐλῄστευσε δὲ γυμνώσας πολλούς, οὐ πάντας μέν τοι ὡς ἤθελεν, ἄγων καὶ φέρων τὰ ἱερὰ καὶ τοὺς ἱερεῖς, καπηλεύων ὁ δεινὸς τὰ ἅγια.

Ἐν τούτῳ δὲ καὶ ὁ ψηφισθεὶς πρὶν Ναυπλίου Γεράσιμος, ἐγένετο Κρήτης, ὅ,τε πρώην Βιζύης ἀνέλαβε τὴν αὑτοῦ ἐπαρχίαν δι' ἐπιμονῆς τῶν ἐπαρχιωτῶν αὐτοῦ, ὅ,τε Βάρνης μετετέθη εἰς Δρύστας, τοῦ Δρύστας παραιτησαμένου.

Τὸ πρὸς τοὺς λογίους καὶ διδασκάλους ἔχθος παντοίως διενεργῶν, καὶ εἰς τέλος μὴ δυνηθῇς καθελεῖν τὴν ἐν Πάτμῳ σχολήν, πάσας αὐτοῦ τὰς κακοβούλους καὶ ὑπούλους μηχανὰς συνεκίνησε κατὰ τῆς ἐν τῷ ἁγίῳ Ὄρει σχολῆς. Ὅθεν ἀνελθὼν εἰς τὸν θρόνον εὐθὺς μὲν διεκώλυσε τὴν ἐπισκευὴν τῶν οἰκοδομημάτων, ἣν ἐκ δαπανημάτων τῆς κοινότητος τοῦ ἁ-